
Άγιος Κλήμης Ιερομάρτυρας, επίσκοπος Ρώμης



Επισκεφτείτε τον ιστοχώρο μας στην διεύθυνση: http://www.saint.gr/3000/saint.aspx για περισσότερες πληροφορίες για τον βίο (ονόματα, βίντεο, ακολουθίες, φωτογραφίες κτλ) καθώς και για τυχών ενημερώσεις - διορθώσεις.

Τελευταία ενημέρωση βιογραφίας: N/A
Δημιουργία εγγράφου: 30/10/2026 23:28:14

Σύνοψη

Τύπος εορτής: Εορτάζει στις 24 Νοεμβρίου εκάστου έτους.

Ιερά Λείψανα: Μέρη Κάρας του Αγίου βρίσκονται στη Λαύρα των Σπηλαίων του Κιέβου, στη Μονή Ίνκερμαν Σεβαστουπόλεως Κριμαίας και στη ρωμαιοκαθολική Βασιλική του Αγίου Πέτρου Ρώμης.

Απότμημα του Ιερού Λειψάνου του Αγίου βρίσκεται στη Μονή Πετράκη Αθηνών.

Ημ/νια Βίου: Ν/Α

Βιογραφία

Βληθεὶς ὁ Κλήμης εἰς βυθὸν σὺν ἀγκύρᾳ,
Πρὸς Χριστὸν ἥκει, ἄγκυραν τὴν ἐσχάτην.

Ο Άγιος Κλήμης ήταν Ρωμαίος αριστοκράτης από βασιλικό γένος, γιος του Φαύστου και της Ματθιδίας. Ο Κλήμης σπούδασε όλες τις επιστήμες της ελληνικής παιδείας, αντάμωσε τον Απόστολο Πέτρο και διδάχθηκε απ' αυτόν την αληθινή πίστη και θεογνωσία, οπότε έγινε θερμός κήρυκας του Ευαγγελίου και συνέγραψε αρκετά συγγράμματα.

Ο Κλήμης υπήρξε τρίτος επίσκοπος Ρώμης, αφού διαδέχθηκε τον Ανέγκλητο, περίπου το έτος 92 μ.Χ. Ποίμανε με υπέρμετρο ζήλο την Εκκλησία της Ρώμης, στα βαρεία εκείνα χρόνια των διωγμών. Συνελήφθη από το Δομετιανό και εξορίστηκε σε πόλη έρημο κοντά στη Χερσώνα. Εκεί, έδεσαν στο λαιμό του μια σιδερένεια άγκυρα και τον έριξαν στη θάλασσα, όπου παρέδωσε την αγία ψυχή του (101 μ.Χ).

Αξίζει, όμως, να σημειώσουμε ότι ο Κλήμης δεν υπήρξε μόνο σοφός κατά τη γραμματική μόρφωση, αλλά ανήκε σ' αυτούς που ο Θείος Παύλος ονομάζει «σοφοὺς εἰς τὸ ἀγαθόν, ἀκεραίους δὲ εἰς τὸ κακόν» (Προς Ρωμαίους, ιστ' 19). Συνετούς, δηλαδή, όταν κάνουν το καλό, και συγχρόνως αμέτοχους από κάθε κακό.

Λειτουργικά κείμενα

Ἀπολυτίκιον

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ’ ἡμῶν, κατὰ τὴν σὴν ἐπιείκιαν, μὴ ἀποστήσης τὸ ἔλεός σου ἀφ’ ἡμῶν, ἀλλὰ ταὶς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Ἕτερον Ἀπολυτίκιον

Ἦχος γ’. Τὴν ὡραιότητα.

Τῆς θείας γνώσεως εὔσημοι σάλπιγγες καὶ τῶν τῆς πίστεως θεσμῶν ἐκφάντωρες ἱερομάρτυρες Χριστοῦ ἐδείχθητε τοῖς ἐν κόσμῳ, Κλήμη παναοίδιμε, τῆς ζωῆς κλῆμα εὔκαρπον καὶ Πέτρε θεόσοφε, εὐσεβῶν πέτρα ἄρρηκτε· διὸ ὡς τῶν ἀρρήτων ἐπόπται, ῥύσασθαι πάσης ἡμᾶς βλάβης.

Κοντάκιον

Ἦχος δ’. Ἐπεφάνης σήμερον.

Ἐκκλησίας ἄσειστοι, καὶ θεῖοι πύργοι, εὐσεβείας ἔνθεοι, στῦλοι ὡς ὄντες κραταιοί, Κλήμη σὺν Πέτρῳ πανεύφημοι, ὑμῶν πρεσβείαις, φρουρεῖτε τοὺς ἅπαντας.

Ὁ Οἶκος

Ἀπεριτρέπτῳ καὶ στερρᾷ σεπτῇ ὁμολογίᾳ οἱ λάμψαντες ἐν κόσμῳ, καὶ φαίνοντες ἀρρήτως, σήμερον χαίρουσι καλῶς, Κλήμης, τὸ ὡραῖον ὄντως κλῆμα τοῦ Χριστοῦ, τὸ τρέφον κόσμον βότρυσι τοῖς τῆς θεογνωσίας, Πέτρος τε, ἡ ἑδραία καὶ ἄθραυστος πέτρα τῶν δογμάτων τοῦ Σωτῆρος. Ἀμφότεροι τῆς θείας χάριτος οἱ λατρευταί, καὶ μύσται τῆς ἀρρήτου σοφίας, καὶ τῆς σεπτῆς Ἐκκλησίας οἱ προστάται οἱ θερμοί, οἱ βοηθοῦντες τοῖς κάμνουσι παντοίοις δεινοῖς, καὶ σῴζοντες τοὺς βοῶντας· Ὑμῶν πρεσβείαις, φρουρεῖτε τοὺς ἅπαντας.

Κάθισμα

Ἦχος πλ. δ’. Τὴν Σοφίαν καὶ Λόγον.

Ὡς πολύφορον κλῆμα ἐπὶ τῆς γῆς, ἁπλωθεὶς τῶν βασάνων κατατομῇ, ὡραίους ἐξήνθησας, ἀξιάγαστε βότρυας, σωτηρίου γλεῦκος, ἀεὶ ἀποστάζοντας, καὶ καρδίας πάντων, πιστῶν κατευφραίνοντας· ὅθεν συνελθόντες, τὴν ἁγίαν σου μνήμην, τελοῦμεν γηθόμενοι, τὸν Χριστὸν μεγαλύνοντες, Ἱεράρχα πολύαθλε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Αγιογραφίες / Φωτογραφίες



Άγιος Κλήμης Ιερομάρτυρας επίσκοπος Ρώμης



Άγιος Κλήμης Ιερομάρτυρας επίσκοπος Ρώμης

Οπτικοακουστικό Υλικό



Ακούστε το απολυτίκιο!